# XXX

## ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ [183

Ἤδη, ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν καταστάντες 1
ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς
καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας συγγνώμης ἔτυχον παρ'
ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε,
ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἀξιῶ καὶ τῶν
κατηγόρων ὑμᾶς ἀκροάσασθαι, ἐὰν ἀποφαίνωσι τοὺς
φεύγοντας πάλαι πονηροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ 2
Νικομάχου δημόσιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε,
καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτερας εἰσήχθη, πολὺ ἂν
ἔργον εἴη λέγειν· ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς
οὐκ οἶδεν οἷα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ αὐτῷ
τεττάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ
μὲν Σόλωνος αὐτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ τεττάρων
μηνῶν ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο, καθ' ἑκάστην δὲ ἡμέραν
ἀργύριον λαμβάνων τοὺς μὲν ἐνέγραφε τοὺς δὲ ἐξήλειφεν. εἰς 3
τοῦτο δὲ κατέστημεν ὥστε ἐκ τῆς τούτου χειρὸς ἐταμιευόμεθα
τοὺς νόμους καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναντίους
παρείχοντο, ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες

3 ἐπιβολάς Harpocr. ε 86 Keaney s. v. ἐπιβολή (εἰ γνήσιος ὁ λόγος addens)

---

*Tit.* γραμματέως . . . κατηγορία del. Thalheim: Νικομαχίδου Harpocr.
1 δικασταί add. X³ 4 καὶ post τοίνυν del. Dobree 5 ἀξιῶ] ἄξιον Af 8 οὗτος] αὐτὸς Dobree 9 φράτερας Cobet: φράτορας X 12 τεσσάρων X, corr. Cobet τοὺς Σόλωνος Reiske: τοῦ Σόλωνος X 14 ἑξέτη Taylor: ἓξ ἔτη X δὲ ⟨τὴν⟩ ἡμέραν Herwerden 15 ἀνέγραφε Frohberger 16 ἐταμιευόμεθα Dobree (vel ἐτεταμιεύμεθα): τεταμιεύμεθα X 17 ἐν τοῖς δικαστηρίοις Cobet

[183S] ΛΥΣΙΟΥ [XXX

εἰληφέναι. ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς καὶ εἰσαγόντων εἰς τὸ δικαστήριον οὐκ ἠθέλησε παραδοῦναι τοὺς νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμφορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς καὶ τῶν
4 πεπραγμένων εὐθύνας ὑποσχεῖν. καὶ γάρ τοι, ὦ ἄνδρες δικασταί, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν, ὁμοίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο, ὅστις πρῶτον μὲν τέτταρα ἔτη ἀνέγραψεν, ἐξὸν αὐτῷ τριάκοντα ἡμερῶν ἀπαλλαγῆναι· ἔπειτα διωρισμένον ἐξ ὧν ἔδει ἀναγράφειν, αὐτὸν ἁπάντων κύριον ἐποιήσατο, καὶ ὅσα ⟨οὐδεὶς πώποτε⟩ διαχειρίσας μόνος οὗτος
5 τῶν ἀρξάντων εὐθύνας οὐκ ἔδωκεν, ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀποφέρουσι, σὺ δέ, ὦ Νικόμαχε, οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν χρόνον, καὶ μήτε εὐθύνας διδόναι μήτε τοῖς ψηφίσμασι πείθεσθαι μήτε τῶν νόμων φροντίζειν, ἀλλὰ τὰ μὲν ἐγγράφεις τὰ δ' ἐξαλείφεις, καὶ εἰς τοῦτο ὕβρεως ἥκεις ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς
6 πόλεως, αὐτὸς δημόσιος ὤν. ὑμᾶς τοίνυν χρή, ὦ ἄνδρες δικασταί, ἀναμνησθέντας καὶ τῶν προγόνων τῶν Νικομάχου, οἵτινες ἦσαν, καὶ οὗτος ὡς ἀχαρίστως ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν, καὶ ἐπειδὴ ἑνὸς ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν γοῦν ὑπὲρ ἁπάντων τὴν τιμωρίαν ποιήσασθε.

7 ἴσως δέ, ὦ ἄνδρες δικασταί, ἐπειδὰν περὶ αὑτοῦ μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν πειράσεται. τότε δὲ

6 οὐκ ἔδωκεν Af   ὁμοίαν Schott: ὁποίαν X: οἵαν Frohberger: ποίαν P. R. Müller: sunt alia   8–9 ἔπειτα διωρισμένον aldina: ἐπὶ τὰ διωρισμένα X: ἔπειτα διωρισμένα Af   10 ἐποιήσατο aldina: ἐποιήσατε X   ὅσα] τοσαῦτα Af: τὰ ὅσια Sluiter   οὐδεὶς πώποτε add. Francken, οὐδεὶς ἄλλος iam Reiske   διαχειρίσας Contius: χειρίσας X   12 ἀποφέρουσι Schöll: ἀναφέρουσι X   13 et 16 ἀναγράψαι . . . ἀναγράφεις (et passim inf.) Markland   16 ἀλλὰ . . . ἐξαλείφεις delendum putat Frohberger   20 οἵτινες] οἷοί τινες Rauchenstein   καὶ αὐτὸς ὡς Dobree   21 παρανομήσας del. Boekmeijer   22 γοῦν post ἁπ X huc transposui: om. AfO: δ' οὖν Albini: γ' ἀθρόων Contius et Scaliger: γ' αὐτῶν Baiter–Sauppe: γ' ὁμοῦ Reiske (ὁμοῦ Gebauer): ἅμα P. R. Müller   23 ποιήσασθαι Markland   25 τότε δὲ] ἐγὼ δὲ Af



XXX] ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ [18

περὶ τῶν ἐμῶν τούτῳ ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν ἀπολογίας ἐμοὶ δοθείσης μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. ἐὰν δ' ἄρα ἐπιχειρῇ λέγειν ἅπερ ἐν τῇ βουλῇ, ὡς ἐγὼ τῶν τετρακοσίων ἐγενόμην, ἐνθυμεῖσθε ⟨ὅτι ὑπὸ⟩ τῶν τοιαῦτα λεγόντων ἐκ τῶν τετρακοσίων πλεῖν ἢ χίλιοι γενήσονται· καὶ γὰρ τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ τοὺς ἀποδημοῦντας οἱ διαβάλλειν βουλόμενοι ταῦτα λοιδοροῦσιν. ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε 8
οὐδὲ τῶν πεντακισχιλίων κατελέγην. δεινὸν δέ μοι δοκεῖ εἶναι ὅτι, εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενον οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀποφεύγειν, νυνὶ δὲ περὶ τῶν τῆς πόλεως κρινόμενος οἰήσεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν μὴ [18.
δοῦναι δίκην.

ἔτι δὲ {οἶμαι} θαυμαστὸν νομίζω Νικόμαχον ἑτέροις 9
ἀδίκως μνησικακεῖν ἀξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ πλήθει ἀποδείξω. καί μου ἀκούσατε· δίκαιον γάρ, ὦ ἄνδρες δικασταί, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκαταλύσαντες τὸν δῆμον νυνὶ δημοτικοί φασιν εἶναι. ἐπειδὴ γὰρ ἀπολομένων 10
τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ ⟨οὐ⟩ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δ' ὁ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι 11

1 τούτῳ Reiske: τότε X: τούτῳ τότε O   3 ἅπερ ⟨καὶ⟩ Reiske   4–5 τριακοσίων bis X, corr. aldina   4 ὅτι ὑπὸ add. Francken: ὅτι ἐκ $Af^{marg}$ (similiter Contius): ἐνθυμεῖσθε· τούτων τοιαῦτα Sauppe   5 ἐκ post λεγόντων om. Af, πλεῖον ἢ χίλιοι τῶν τ. γεν. scribens   πλέον] πλεῖον X: πλεῖν Cobet   7 οἱ ante διαβάλλειν del. Francken   8 τριακοσίων X, corr. aldina   9 πεντακισχιλίων Taylor: τρισκισχιλίων X (per errorem a τριακοσίων ortum)   10 ὅτι del. Dobree: ὅτ' Thalheim   ἀγωνιζόμενον Weidner: ἀγωνιζόμενος X, quod possis sed propter περὶ . . . κρινόμενος minus prob.   15 οἶμαι del. Contius: εἶναι Markland: κἀκεῖνο Gebauer: καὶ Franz: ὦ ἄνδρες δικασταί Baiter   νομίζω del. Taylor   16 ἀδίκως] ἀδικοῦσι Reiske: ὡς ἀδικοῦσι Kayser: ἀδικίας Sauppe: sunt alia   22 οὐ add. Contius, μὴ Markland   23 δ' ὁ Cobet: δὲ X   κηφισεὺς X, corr. aldina   βουλεύων del. Halbertsma   24 δήσαντας ex δείσαντας corr. $X^1$

[184S] *ΛΥΣΙΟΥ* [XXX

αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ
δικαστηρίῳ, πείθουσι Νικόμαχον νόμον ἀποδεῖξαι ὡς χρὴ καὶ
τὴν βουλὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος
οὕτως φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ ᾗ ἡ κρίσις
12 ἐγένετο ἀποδεῖξαι τὸν νόμον. Κλεοφῶντος τοίνυν, ὦ ἄνδρες
δικασταί, ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι. τοῦτο δὲ παρὰ
πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες τὸν δῆμον ἐκεῖνον
ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι, καὶ ὅτι
Σάτυρος καὶ Χρέμων οἱ τῶν τριάκοντα γενόμενοι οὐχ ὑπὲρ
ὑμῶν ὀργιζόμενοι Κλεοφῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον
13 ἀποκτείναντες αὐτοὶ ὑμᾶς κακῶς ποιῶσι. καὶ ταῦτα
διεπράξαντο διὰ τὸν νόμον ὃν Νικόμαχος ἀπέδειξεν. εἰκὸς
τοίνυν, ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν
ἐνόμιζον Κλεοφῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν ἐν τῇ
ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός, ἀλλ' ὅμως καὶ διὰ
τοὺς τοιούτους ὠργίζεσθε τοῖς τριάκοντα, ὅτι οὐ τῶν
14 ἀδικημάτων ἕνεκα ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέκτειναν. ἐὰν
οὖν πρὸς ταῦτα ἀπολογῆται, τοσοῦτον μέμνησθε, ὅτι ἐν
τοιούτῳ καιρῷ τὸν νόμον ἀπέδειξεν ἐν ᾧ ἡ πολιτεία
μεθίστατο, καὶ τούτοις χαριζόμενος οἳ τὸν δῆμον κατέλυσαν,
καὶ ταύτην τὴν βουλὴν συνδικάζειν ἐποίησεν ἐν ᾗ Σάτυρος μὲν
καὶ Χρέμων μέγιστον ἐδύναντο, Στρομβιχίδης δὲ καὶ
Καλλιάδης καὶ ἕτεροι πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν
ἀπώλλυντο.

15 καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, εἰ μὴ
ᾐσθανόμην αὐτὸν ὡς δημοτικὸν ὄντα πειρασόμενον παρὰ τὸ
δίκαιον σῴζεσθαι, καὶ τῆς εὐνοίας τῆς εἰς τὸ πλῆθος τεκμηρίῳ

2 Νικόμαχον Paulmier: Νικομαχίδην X 4 τῇ ⟨αὐτῇ⟩ ἡμέρᾳ Herwerden 6 τις ⟨ἴσως⟩ Herwerden 9 Χρέμων Schott: Κλεοφῶν X: del. Bekker ⟨μετὰ ταῦτα⟩ γενόμ. Weijers: ⟨ὕστερον⟩ γενόμ. Westermann: ὁ τῶν τρ. γενόμενος Frohberger: fort. οἱ . . . γενόμενοι delenda ut glossema coll. or. 12 tit. 10 ὑμῶν ex ἡμῶν corr. X[1] 12 διὰ τοῦ νόμου Reiske 13 καὶ ante ὁπόσοι del. Dobree 14 ὅτι ⟨εἰ⟩ καὶ Reiske 16 ὠργίζ. ex ὀργίζ. corr. X[1] 20 κατέλυον Cobet 22 στρομαιχίδης X, corr. aldina 26 πειρασόμενον Weijers: πειράσεσθαι X, quo retento ἐπυθόμην pro ᾐσθανόμην Cobet, deleto καὶ post σῴζεσθαι





XXX] *ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ* [184S

χρησόμενον ὅτι ἔφυγεν. ἐγὼ δὲ καὶ ἑτέρους ἂν ἔχοιμι
ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆμον τοὺς μὲν
ἀποθανόντας, τοὺς δὲ φυγόντας τε καὶ οὐ μετασχόντας τῆς
πολιτείας, ὥστε οὐδένα εἰκὸς αὐτῷ τούτου ὑπόλογον γενέσθαι. 16
τοῦ μὲν γὰρ ὑμᾶς φυγεῖν μέρος τι καὶ οὗτος συνεβάλετο, τοῦ δὲ
τοῦτον κατελθεῖν τὸ πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. ἔτι
δὲ καὶ δεινόν, εἰ ὧν μὲν ἄκων ἔπαθε χάριν αὐτῷ εἴσεσθε, ὧν δ'
ἑκὼν ἐξήμαρτε μηδεμίαν τιμωρίαν ποιήσεσθε.

πυνθάνομαι δὲ αὐτὸν λέγειν ὡς ἀσεβῶ καταλύων τὰς 17
θυσίας. ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς,
ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ· νῦν δὲ
τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον πείθεσθαι. θαυμάζω
δὲ εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν λέγοντα ὡς χρὴ
θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς
συγγραφάς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ· ταῦτα γὰρ ὑμεῖς
ἐψηφίσασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦ που σφόδρα
ἐκείνους ἡγῇ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρβεων μόνον ἔθυον.
καίτοι, ὦ ἄνδρες δικασταί, περὶ εὐσεβείας οὐ παρὰ Νικομάχου 18
⟨χρὴ⟩ μανθάνειν, ἀλλ' ἐκ τῶν γεγενημένων σκοπεῖν. οἱ τοίνυν
πρόγονοι τὰ ἐκ τῶν κύρβεων θύοντες μεγίστην καὶ
εὐδαιμονεστάτην τῶν Ἑλληνίδων τὴν πόλιν παρέδοσαν, ὥστε
ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι, καὶ εἰ μηδὲν δι'
ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης.
πῶς δ' ἄν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ πρῶτον 1
μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον συμφέρει τῇ πόλει, |
ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο καὶ δυνησόμεθα δαπανᾶν ἐκ τῶν

2 συγκαταλυσάντων ex συγκαλεσάντων corr. X[1] 4 τούτου Weijers: τουτ X 7 καὶ ante δεινόν del. Auger 12 κοινοῖς καὶ del. Dobree 14 στηλῶν Taylor: εὔπλων X: ὅπλων Af 17 ἡγεῖ Cobet ἀσεβεῖν Bekker 19 χρὴ add. Baiter–Sauppe: post μανθάνειν add. Af 21 post παρέδοσαν add. ἡμῖν Contius, ex sequ. trs. Baiter 22 εἰ καὶ μηδὲν Halbertsma 23 τῆς τύχης γε Francken: τῆς γε εὐτυχίας Herwerden 25 ἔπειτα del. Rauchenstein: ἔπειτα ⟨καὶ⟩ ἃ Af μᾶλλον] πάλαι Sauppe: μέλλει συμφέρειν Richards 26 ἔτι δὲ] ἔπειτα Kayser καὶ ⟨ἃ⟩ Contius: κἂς ⟨ἃ⟩ Kayser: δαπανᾶν del. Francken

[185S] ΛΥΣΙΟΥ [XXX

προσιόντων χρημάτων; σὺ δέ, ὦ Νικόμαχε, τούτων τἀναντία
πεποίηκας· ἀναγράψας γὰρ πλείω τῶν προσταχθέντων αἴτιος
γεγένησαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι,
20 ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυσιν ἱερὰ
ἄθυτα τριῶν ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι
γεγραμμένων. καὶ οὐχ οἷόν τε εἰπεῖν ὡς οὐχ ἱκανὰ ἦν ἃ
προσῆλθε τῇ πόλει· εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ὡξ
ταλάντοις, εἴς τε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε καὶ
τρία τάλαντα ἂν περιεγένετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων
καὶ μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ

21 ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταί, ὅτι, ὅταν μὲν κατὰ
τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται, ἐπειδὰν δὲ
κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν
καταλύεται. κᾆθ' οὗτος ὁ ἱερόσυλος περιτρέχει, λέγων ὡς
εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε· καὶ εἰ μὴ ταῦτα ὑμῖν
ἀρέσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ τούτων οἴεται πείσειν ὡς
οὐδὲν ἀδικεῖ· ὃς ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος
δώδεκα ταλάντοις ἀνήλωσε, παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν
22 ἐπεχείρησεν ὡξ ταλάντοις τὴν πόλιν ζημιῶσαι, καὶ ταῦτα
ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων καὶ Λακεδαιμονίους μὲν
ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα,
Βοιωτοὺς δὲ σύλας ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα
ἀποδοῦναι, τοὺς δὲ νεωσοίκους ⟨καὶ⟩ τὰ τείχη
περικαταρρέοντα, εἰδὼς δὲ ὅτι ἡ βουλὴ ἡ ⟨ἀεὶ⟩ βουλεύουσα,
ὅταν μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρτάνει,

1 προσόντων X, corr. Markland in marg. Steph. (item Reiske) 3 ⟨τοῦ⟩ τὰ προσ. Cobet προσόντα X, corr. Reiske 6 ἦν ἃ Markland : εἶναι X : εἴη ἃ Cobet 8 εἴς τε Bekker : εἴς γε X 13 ποιῶμεν] θύωμεν Contius 15 κᾆθ' οὗτος Jacobs : καὶ τούτοις X : κἂν τούτοις Hude : καίτοι οὗτος Reiske : καὶ ⟨ἐπὶ⟩ τούτοις Markland : κἂν ταύταις (sc. ταῖς στήλαις) Franz : sunt alia 16 ὡς ⟨κατ'⟩ εὐσ. Frohberger : ὡς ⟨εἰς⟩ εὐσ. . . . οὐκ ⟨εἰς⟩ εὐτ. Sluiter : ὡς εὐσεβείᾳ ἀλλ' οὐκ ⟨ἐπ⟩ εὐτελείᾳ Weidner 16–17 ἡμῖν ἀρέσκει X, corr. Af 17 πείσειν Cobet : πείθειν X 19 ἀνάλωσε X, corr. Cobet 23 σύλας Contius : σύλα X : σκῦλα Af ὅτι ex ὅτε corr. X[1] ⟨τὰ⟩ δύο Scheibe 24 καὶ add. Taylor 25 εἰδώς τε Markland ἀεὶ add. Valckenaer in schedis (item Sluiter)



XXX] ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ [185S]

ὅταν δὲ εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται εἰσαγγελίας
δέχεσθαι καὶ δημεύειν τὰ τῶν πολιτῶν καὶ τῶν ῥητόρων τοῖς
⟨τὰ⟩ πονηρότατα λέγουσι πείθεσθαι. χρὴ τοίνυν, ὦ ἄνδρες 23
δικασταί, μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλλὰ τοῖς
εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν πόλιν. προσέχουσι ⟨δὲ⟩
τὸν νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν, ὅπως Νικόμαχος
ἀγωνιεῖται· οἷς ὑμεῖς, ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν
ἄδειαν ποιήσετε· ἐὰν δὲ καταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ
τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε
καὶ παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε. ἐπίστασθε δέ, ὦ 24
ἄνδρες δικασταί, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ τολμᾶν
εἰς ὑμᾶς ἐξαμαρτάνειν οὐχ ὅταν τοὺς ἀδυνάτους εἰπεῖν
κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν δίκην
λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότερος
Νικομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν ἀγαθὰ
πεποίηκεν ἢ πλείω ἠδίκηκεν; ὃς καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν 25
ἀναγραφεὺς γενόμενος εἰς ἀμφότερα ταῦτα ἡμάρτηκεν.
ἀναμνήσθητε δὲ ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν ἐπὶ κλοπῇ
χρημάτων ἀπεκτείνατε. καίτοι ἐκεῖνοι μὲν τοσοῦτον μόνον
ὑμᾶς ἔβλαψαν ὅσον ἐν τῷ παρόντι, οὗτοι δ' ἐπὶ τῇ τῶν νόμων
ἀναγραφῇ {καὶ τῶν ἱερῶν} δῶρα λαμβάνοντες εἰς ἅπαντα τὸν
χρόνον τὴν πόλιν ζημιοῦσι.

διὰ τί δ' ἄν τις ἀποψηφίσαιτο τούτου; πότερον ὡς ἀνδρὸς 26
ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς μάχαις καὶ
ναυμαχίαις παραγεγενημένου; ἀλλὰ ὅτε ὑμεῖς ἐκινδυνεύετε
ἐκπλέοντες, οὗτος αὐτοῦ μένων τοὺς Σόλωνος νόμους
ἐλυμαίνετο. ἀλλ' ὅτι χρήματα δεδαπάνηκε καὶ πολλὰς
εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὑτοῦ τι
ἐπέδωκεν, ἀλλὰ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται. ἀλλὰ διὰ 27

3 τὰ add. Reiske 5 καθιστᾶσι Reiske : καθιστῶσι X δὲ add. Sauppe, γὰρ Markland, δὲ καὶ Weijers : lacunam post πόλιν statuit Cobet προσέχουσι . . . λαμβάνητε §24 del. Dobree, προσέχουσι . . . ἡμάρτηκεν §25 del. Kocks 8 αὐτὸν X, corr. Reiske : del. Dobree 20 οὗτοι δ'] οἱ δ' Francken καὶ τῶν ἱερῶν del. Francken 26 τοὺς τοῦ Σόλωνος Af 27 χρήματα Af : χρήμασιν X

[186S] ΛΥΣΙΟΥ [XXX

τοὺς προγόνους; ἤδη γάρ τινες καὶ διὰ τοῦτο συγγνώμης
ἔτυχον παρ' ὑμῶν. ἀλλὰ τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν
τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι. ἀλλ' ὡς, ἐὰν νῦν
[186S] αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει τὰς χάριτας; ὃς οὐδ' ὧν
πρότερον μετέλαβε παρ' ὑμῶν ἀγαθῶν μέμνηται. καίτοι ἀντὶ
μὲν δούλου πολίτης γεγένηται, ἀντὶ δὲ πτωχοῦ πλούσιος, ἀντὶ
28 δὲ ὑπογραμματέως νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις
κατηγορῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο Σόλωνα
καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοιούτους ἔσεσθαι
τοὺς νόμους οἷοίπερ ἂν ὦσιν οἱ τιθέντες, ὑμεῖς δὲ Τεισαμενὸν
τὸν Μνησανίωνος καὶ Νικόμαχον καὶ ἑτέρους ἀνθρώπους
ὑπογραμματέας· καὶ τὰς μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε
29 διαφθείρεσθαι, αὐτοῖς δὲ τούτοις πιστεύετε. ὃ δὲ πάντων
δεινότατον· ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ
ἀρχῇ τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν
χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον Νικόμαχον εἵλεσθε
ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πόλεως οὐ
30 προσήκει· καὶ ὃν ἔδει ὑπὸ τοῦ δήμου κρίνεσθαι, οὗτος τὸν
δῆμον συγκαταλύσας φαίνεται. νῦν τοίνυν ὑμῖν
μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ ὑπὸ τούτων ἀεὶ
κακῶς πάσχοντες ἀνέχεσθε, μηδὲ ἰδίᾳ μὲν ὀνειδίζετε τοῖς
ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ' αὐτῶν λαμβάνειν,
ἀποψηφίζεσθε.
31 καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· περὶ δὲ τῶν
ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι.
παρεσκευασμένοι τινές εἰσι καὶ τῶν φίλων καὶ τῶν τὰ τῆς
πόλεως πραττόντων δεῖσθαι ὑπὲρ αὐτοῦ· ὧν ἐγὼ ἡγοῦμαι
ἐνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων

1 διὰ τούτους Sluiter 4 ἀποδώσοντος Francken τὰς ante χάριτας om. Af 10 τισαμενὸν X, corr. Herwerden 13 αὐτοὶ δὲ Sluiter: αὐτοὺς δὲ Markland 17–18 οὐδὲν προσήκει Reiske 18 ὑπὲρ τοῦ δήμου X, corr. Markland 20 ὑπὸ τούτων Af: ὑπὸ τῶν X: ὑπὸ τῶν αὐτῶν Contius, quod aeque possis 21–22 αὐτοῖς ἀδικοῦσιν Herwerden 24 περὶ μὲν τούτου Dobree: περὶ μὲν τουτουὶ Francken 25 ἐξαιτησαμένων X' 26 παρεσκευασμένοι ⟨γάρ⟩ Reiske





XXX] ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ [186S]

ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδικοῦντας σῴζειν
προαιρεῖσθαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, εἰ 32
τούτου μὲν ἑνὸς ὄντος καὶ οὐδὲν ὑπὸ τῆς πόλεως ἠδικημένου
οὐκ ἐπεχείρησαν δεῖσθαι ὡς χρὴ παύσασθαι εἰς ὑμᾶς
ἐξαμαρτάνοντα, ὑμᾶς δὲ τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ
τούτου ⟨πείθειν⟩ ζητήσουσιν ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ
λαμβάνειν. χρὴ τοίνυν, ὥσπερ καὶ τούτους ὁρᾶτε προθύμως 33
σῴζοντας τοὺς φίλους, οὕτως καὶ ὑμᾶς τοὺς ἐχθροὺς
τιμωρεῖσθαι, εὖ εἰδότας ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους
δόξετε εἶναι, ἐὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε.
ἐνθυμεῖσθε δὲ ὅτι {οὔτε Νικόμαχος οὔτε} τῶν αἰτησομένων
οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος
ἠδίκηκεν, ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι ἢ
τούτοις βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι 34
πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν,
τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ
δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξαπατήσαντες ἄδειαν εἰς
τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ ποιεῖν ὅ τι ἂν βούλωνται.
ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι 35
πεισθῆναι, τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν ⟨ὑμᾶς⟩ μὴ πρὸ τῆς
κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν
ὑμετέραν νομοθεσίαν ἀφανίζοντας· οὕτως γὰρ ἐννόμως
διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν πάντα.

4 ὡς χρὴ del. Dobree: ὡς χρηστοῦ Reiske: ὡς χρηστοὶ Fuhr 6 πείθειν add. Contius: ὑπὸ τουτουὶ πείσουσι (pro ὑπὸ τούτου ζητήσουσι) Sauppe 7 ὥσπερ καὶ Baiter–Sauppe: ὥσπερ ἂν X: ὥσπερ δὴ Cobet: ὥσπερ νῦν (item Reiske) vel ἂν del. Contius: ὥσπερ αὐτοὺς Scheibe 10 ἐὰν Contius: ἐπὰν X 11 οὔτε Ν. οὔτε del. Dobree: οὔτε Ν. del. Westermann οὐδὲ pro οὔτε scribens 15 τῶν κατηγόρων del. Herwerden 16 τῆς δὲ ὑμετέρας ψήφου Frohberger ἀποπειράσοντες Frohberger 19 ἀξιούμενοι] αἰτούμενοι Söderbaum: ἐξαιτούμενοι Sauppe: αἰτουμένων Markland: παρακαλούμενοι . . . ἀξιοῦμεν Frohberger 20 ὑμᾶς add. Markland 22 ἡμετέραν X, corr. Taylor νομοθεσίαν Taylor: νουθεσίαν X 23 πολιτείαν] πόλιν Dobree ἅπαντα W